col 5 (1) Ζʹ

πόλ[ιν _ _ _]ṿ βαθυδεί-
ελοṿ· [ἐκ το]ῦ̣ μὲν γένος
ἔπˈλε[το καρτε]ρόχειρ
Ἀργεῖο[ϲ ᴗ _ ᴗ] λέοντος
θυμὸ[ν ἔχων], ὁπότε
χˈρει[_ ᴗ _]βολοῖ μάχας
ποσςί[ν τ᾽ ἐλα]φˈρό[ς, π]α̣τˈρίων
τ᾽ οὐκ [ᴗ _ _ _ κ]αλῶν,
τόσα Παν[θείδᾱι κλυτό]το-
ξος Ἀπό[λλων ὤπασε]ν,
ἀμφί τ᾽ ἰατο[ρίᾱι
ξείνων τε̣ [φι]λάνορι τ̣[ι]μ̣ᾶι·
εὖ δὲ λαχὼν Χαρίτων
πολλοῖς τε θαυμασθεὶς βροτῶν,
αἰῶν᾽ ἔλυσεν πέντε παῖ-
δας μεγαινήτους λιπών.
τῶν ἕνα οἱ Κρονίδας
ὑψίζυγος Ἰσθμιόνικον
θῆκεν ἀντ᾽ [εὐε]ργεσιᾶν, λιπαρῶν τ᾽ ἄλ-
λων στεφάνων ἐπίμοιρον.
φαμὶ καὶ φάσω ⌊μέ⌋γ̣ιστον